www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΛΕΞΑΝΔΡΟΥ
# ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΜΗΘΥΜΝΗΣ

Οὗ ἡ Μνήμη τῇ λ΄ Νοεμβρίου.

Ποιηθεῖσα
ὑπὸ τοῦ ταπεινοῦ Ἐπισκόπου Κυρίλλου, τοὐπίκλην Κογεράκη,
Μητροπολίτου τῆς ἁγιωτάτης Μητροπόλεως Ῥόδου.

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. β΄. Τριήμερος ἀνέστης.

Α᾿λέξανδρον τὸν θεῖον πιστοί, Μηθύμνης τὸν ἰσάγγελον Ποιμενάρχην, εὐφημήσωμεν αὐτῷ, συμφώνως ἐκβοῶντες· Διάσῳζε εὐχαῖς σου, ἀπὸ κινδύνων ἡμᾶς Ἅγιε.

Ε῾πόμενος ἀγάπη θερμῇ, καὶ πόθῳ τῷ Δεσπότῃ σου θεομάκαρ , ἐπὶ γῆς δἰ ἀρετῆς, καλῶς ἐπολιτεύσω, Ἀλέξανδρε καὶ ὤφθης, ποιμὴν τῆς ποίμνης φιλοπρόβατος.

Πραΰτητι ποιμάνας σοφέ, Μηθύμνης τὴν θεόλεκτον ἐκλογάδα, πρὸς οὐράνιον ζωήν, Ἀλέξανδρε μετέβης, δεήσεις ἀναφέρων, ὑπὲρ ἡμῶν τῷ Παντοκράτορι.

Ι῾κέτευε ἀπαύστως Χριστόν, ὡς ἔχων ἀκαταίσχυντον παῤῥησίαν, Ἱεράρχα θαυμαστέ, Ἀλέξανδρε θεόφρον, δεινῶν ἵνα ῥυσθῶμεν, οἱ κατὰ χρέος εὐφημοῦντές σε.

Δόξα. Ἦχος γ΄.

Χρεωστικῶς ἐκτελοῦμεν τὴν μνήμην σου, Ἀρχιερεῦ τῆς Μηθύμνης Ἀλέξανδρε· εἰς ἁγιασμὸν γὰρ κτησάμενος, τοὺς καρποὺς τῶν κατορθωμάτων σου, τοῖς θαύμασιν ὡς φωστὴρ διαλάμπεις, καταυγάζων Ἐκκλησίας τὸ πλήρωμα. Διὸ πρέσβευε ὑπὲρ ἡμῶν, τῶν ἐκτελούντων τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Α῾γιόπρωτε σεμνή, ἐγκώμιον οὖσα, τῶν οὐρανίων ταγμάτων, Ἀποστόλων ὑμνῳδία, Προφητῶν περιοχή, Δέσποινα πρόσδεξαι, καὶ ἡμῶν τὰς δεήσεις.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Δεῦτε οἱ εὐσεβεῖς, τιμήσωμεν συμφώνως, Ἀλέξανδρον τὸν θεῖον, Μηθύμνης Ἱεράρχην, καὶ Λέσβου τὸ ἀγλάϊσμα.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Λάμψας τῶν ἀρετῶν, Ἀλέξανδρε ἐν ὕψει, Μηθύμνης Ποιμενάρχης, θεόληπτος ἐδείχθης, καὶ τῶν πιστῶν διδάσκαλος.

Στίχ. Οἱ Ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

Πρέσβευε τῷ Θεῷ, τῷ θαυμαστώσαντί σε, Ἀλέξανδρε παμμάκαρ, ὑπὲρ τῶν ἐκτελούντων, τὴν παναγίαν μνήμην σου.

Δόξα. Τριαδικόν.

Κύριε τοῦ παντός, Πάτερ, Υἱὲ καὶ Πνεῦμα, Τριὰς Ὑπεραγία, εὐχαῖς τοῦ Ἱεράρχου, εἰρήνην ἡμῖν δώρησον.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα Μαριάμ, μετὰ τοῦ Ἱεράρχου, Μηθύμνης Ἀλεξάνδρου, ἱκέτευε δοθῆναι, ἡμῖν πταισμάτων ἄφεσιν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Ὁ Προοιμιακὸς καὶ τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. στʹ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος δʹ. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ως ποιμένα θεόκριτον, Μηθυμναίων Ἀλέξανδρε, συνελθόντες σήμερον εὐφημοῦμέν σε· σὺ γὰρ ἀφεὶς τὴν ἐπίπονον, τοῦ βίου προσπάθειαν, ἠκολούθησας Χριστῷ, τῷ Θεῷ προθυμότατα, καὶ διέλαμψας, ὥσπερ λύχνος φωσφόρος ἐν λυχνίᾳ, Ἐκκλησίας καταυγάζων, τῶν εὐσεβῶν τὰ συστήματα.

Τῷ Θεῷ διὰ πίστεως, εὐσεβῶς προσκολλώμενος, ἀρετῶν ἀνέδραμες εἰς ἀκρώρειαν, καὶ Ἱεράρχης γενόμενος, παμμάκαρ Ἀλέξανδρε, μυστηρίων λειτουργός, καὶ διδάσκαλος πάνσοφος, ἀναδέδειξαι, τῶν πιστῶν τοῦ πληρώματος θεόφρον· διὰ τοῦτό σε τιμῶμεν, ἐπιτελοῦντες τὴν μνήμην σου.

Τὸ δοθέν σοι ὡς πάνσοφος, ἐπλεόνασας τάλαντον, ὡς Χριστοῦ Ἀλέξανδρε δοῦλος γνήσιος· διὸ εἰσῆλθες ὡς γέγραπται, χαρὰν εἰς ἀτέρμονα, βασιλείας τοῦ Θεοῦ, σὺν Ἁγίων τοῖς τάγμασι, φῶς τὸ ἄδυτον, μυστικῶς κατοπτεύων καὶ πρεσβεύων, ὑπὲρ ποίμνης σου τρισμάκαρ, τῆς κατὰ χρέος τιμώσης σε.

Ἕτερα. Ἦχος δʹ. Ἔδωκας σημείωσιν.

Βίον ἀκηλίδωτον, πολιτευσάμενος Ἅγιε, ἀρεταῖς εὐθυνούμενον, ποιμὴν ἀνηγόρευσαι, τῆς Μηθύμνης θεῖος, καὶ πρὸς σωτηρίου, τὴν ἐπουράνιον νομήν, τὴν ἐκλογάδα αὐτῆς ἐποίμανας· διὸ σε ὁ Φιλάνθρωπος, ὑπερφυῶς ἐθαυμάστωσεν, ἐνεργείαις τιμήσας σε, τῶν θαυμάτων Ἀλέξανδρε.

Νόμῳ τοῦ Κυρίου σου, ὑποκλιθεὶς τὸν αὐχένα σου, Παρακλήτου Ἀλέξανδρε, ἐπλήσθης τῆς χάριτος, καὶ Ἀρχιερέων, ἐν θρόνῳ ἀνῆλθες, ἔνθα ἐμπρέψας θαυμαστῶς, ταῖς ἀρετῶν σου τοῖς προτερήμασι, φωστὴρ ἀειλαμπέστατος, τῇ Ἐκκλησίᾳ ἀνέτειλας, τὰς ψυχὰς τῶν ὑμνούντων σε, καταυγάζων ἀοίδιμε.

Ζήσας ὡς ἀσώματος, ἐπὶ τῆς γῆς μετὰ σώματος, Ἀσωμάτων συνόμιλος, ὑπάρχεις Ἀλέξανδρε, ἐν τοῖς οὐρανίοις, σκηνώμασι Πάτερ, καὶ τὴν Τρισάγιον ᾠδήν, τῷ ἐν Τριάδι ᾄδεις Δεσπότῃ σου· ᾧ πρέσβευε δεόμεθα, ὑπὲρ ἡμῶν τῶν ὑμνούντων σε, ἱλασμὸν ἵνα λάβωμεν, καὶ εἰρήνην καὶ ἔλεος.

Δόξα. Ἦχος δ΄.

Σήμερον οἱ πιστοί, τὴν ἁγίαν σου μνήμην ἐπιτελοῦντες, Ἱεράρχα θεόφρον Ἀλέξανδρε, τοῦ ὁσίου σου βίου τὰς ἀρετὰς θαυμάζομεν, καὶ τὰ κατορθώματά σου μακαρίζομεν· ἐν Πνεύματι γὰρ Ἁγίῳ, εὐσεβῶς πολιτευσάμενος, τὸν ἐν Μηθύμνῃ λαὸν ἀξίως ἐποίμανας, καὶ πάνσοφος εὐσεβείας ἐδείχθης διδάσκαλος, τοῖς θαύμασιν ὡς ἀστὴρ διαλάμπων, καὶ διώκων ἀσεβείας σκοτόμαιναν. Ἀλλὰ πρέσβευε τῷ Κυρίῳ, δωρηθῆναι τῷ κόσμῳ τὴν εἰρήνην, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ὁ αὐτός. Προεόρτιον.

Ἡ῾σαΐα χόρευε, λόγον Θεοῦ ὑπόδεξαι, προφήτευσον τῇ Κόρῃ Μαριάμ, βάτον καταφλέγεσθαι, καὶ πυρὶ μὴ καίεσθαι, τῇ αἴγλῃ τῆς Θεότητος· Βηθλεὲμ εὐτρεπίζου, ἄνοιγε πύλην ἡ Ἐδέμ, καὶ Μάγοι πορεύεσθε, ἰδεῖν τὴν σωτηρίαν, ἐν φάτνῃ σπαργανούμενον, ὃν Ἀστὴρ ἐμήνυσεν, ἐπάνω τοῦ σπηλαίου, ζωοδότην Κύριον, τὸν σῴζοντα τὸ γένος ἡμῶν.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.
(Κεφ. ι΄, 7,6· γ΄, 13-15· η΄,6,34,35,4,12,14,17,5-9· κβ΄,21, 19· ιε΄, 4)

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς εἶδε φρόνησιν· κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν, οὐκ ἀντιτάξεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτῇ, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν· ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν εἰσακούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει· αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων· Ὅτι ἐγὼ ἡ σοφία κετεσκήνωσα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην· ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς· ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε, τοίνυν ἄκακοι, πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίσω ἀπὸ χειλέων ὀρθά· ὅτι ἀλήθειαν μελετήσει ὁ φάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιὸν οὐδὲ στραγγαλιῶδες· πάντα ἐνώπια τοῖς συνιοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν

ἀληθῆ, ἵνα γένηται ἐπὶ Κύριον ἡ ἐλπὶς ὑμῶν καὶ πλησθήσεσθε Πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ', 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. ε', 15-23, στ' 1,3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α΄.

Τὸν Ἱεράρχην τοῦ Χριστοῦ, Ἀλέξανδρον τὸν Ὅσιον, τὸν κάλλιστον τῆς Μηθύμνης ποιμένα, δεῦτε πιστοὶ ἐπαινέσωμεν, ὅτι πρὸς εὐσεβείας τὴν νομήν, τὴν ἐκλογάδα Χριστοῦ ποιμάνας, ἐν μάνδρᾳ οὐρανῶν τῆς βασιλείας, τὴν κατάπαυσιν αἰώνιον ἐκτήσατο, καὶ πρεσβεύει τῷ Θεῷ, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄.

Α᾿ρχιερέων τὸ κλέος, Ἀλέξανδρε θεόληπτε, χαῖρε καὶ εὐφραίνου· Χριστὸν γὰρ ἀγαπήσας, καὶ εὐαγγελικῶς πολιτευσάμενος, τῇ Ἐκκλησίᾳ τοῖς θαύμασι, φαιδρότερον ἡλίου ὑπερήστραψας· διὸ αἴτει τὸν φωτισμόν, ταῖς ψυχαῖς παμμάκαρ, καὶ ἡμῶν τῶν τιμώντων σε.

Ἦχος δ΄.

Δεῦτε πιστοί, τὸν ἡγιασμένον Ἱεράρχην, Ἀλέξανδρον τιμήσωμεν, τῆς Μηθύμνης τὸ κλέος, καὶ τῆς Λέσβου τὸ καύχημα· τοῦ Θείου γὰρ Πνεύματος, κατάρρυτος τοῖς ῥείθροις γενόμενος, εὐσεβείας ἀνέβλυσε νάματα, καὶ θαυμάτων ἐπήγασε χαρίσματα, εὐφραίνων ἅπαντας, τοὺς ἐκ ψυχῆς ἐκβοῶντας· Ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, ὁ θαυμαστὸς ὑπάρχων, εἰς αἰῶνας ἐν τοῖς Ἁγίοις σου.

Δόξα. Ὁ αὐτός.

Τὴν ἁγίαν σου μνήμην, τρισμάκαρ Ἀλέξανδρε, ἐν ᾠδαῖς πνευματικαῖς ἑορτάζομεν· σὺ γὰρ τῶν ἀρετῶν, ὅλην τὴν κλίμακα διέδραμες, καὶ Ἐκκλησίας Ἀρχιερεύς, ἀνεδείχθης οὐράνιος, ταύτην καλῶς κυβερνήσας, καὶ εὐσεβείᾳ τηρήσας τὴν ποίμνην σου· διό σε Χριστὸς ὁ Θεός, τοῖς θαύμασιν ἐμεγάλυνεν, ᾧ πρέσβευε ὑπὲρ ἡμῶν, τῶν αἰτουμένων ἐν βίῳ προστάτην σε.

Καὶ νῦν. Θεοτοκίον.

Ε᾿κ παντοίων κινδύνων, τοὺς δούλους σου φύλαττε, Εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ προσόμοια.
Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Δεῦτε εὐφημήσωμεν πιστοί, ἐν ἀγαλλιάσει καρδίας, τὸν Ἱεράρχην Χριστοῦ, Ὅσιον Ἀλέξανδρον, τὸν διαπρέψαντα, ποιμασίας χαρίσμασιν, ἐν θρόνῳ Μηθύμνης, καὶ Θεὸν δοξάσαντα, λόγοις καὶ πράξεσι· τούτου γὰρ ἐπέστη ἡ μνήμη, σήμερον φωτίζουσα κόσμον, χάριτος ἐνθέοις ἐπιλάμψεσιν.

Στίχ. Οἱ Ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

Ἔρωτι πυρούμενος Χριστοῦ, κόσμου τῆς ἀπάτης ἀπέστης, ἀνενδοιάστῳ ψυχῇ, καὶ κατηκολούθησας, αὐτοῦ τοῖς ἴχνεσι, ἀρεταῖς πυρσευόμενος, καὶ ποιμαντικαῖς σου, διαλάμπων πράξεσι, Πάτερ Ἀλέξανδρε. Ὅθεν μεταστὰς τῶν προσκαίρων, ἐν Ἐδὲμ τῷ πλάτει χορεύεις, μνημονεύων πάντων τῶν τιμώντων σε.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Χαίροις ὁ ὑπέρκαλος ποιμήν, ὁ τὸν ἐν Μηθύμνῃ ποιμάνας, χριστομιμήτως λαόν· χαίροις καταγώγιον, σεπτὸν τῆς χάριτος· χαίροις βρύσις πολύκρουνος, θαυμάτων ποικίλων, καὶ πιστῶν προπύργιον, θεῖε Ἀλέξανδρε· Πρέσβευε ἀεὶ ὑπὲρ πάντων, τῶν ἐν κατανύξει τελούντων, μνήμην σου τὴν ὄντως ἀεισέβαστον.

Δόξα. Ἦχος γ΄.

Ὅσιε Πάτερ, Πατέρων ἀκρότης, σοφὲ Ἀλέξανδρε, βίῳ καὶ λόγῳ λαμπρυνθείς, κρείττονα δόξαν τοῦ Ἀαρὼν ἐκληρώσω, καὶ ἀναιμάκτως ἐπὶ γῆς, ἀγγελικῶς ἱερούργησας, τὸν ἀμνὸν τοῦ Θεοῦ, τὸν αἴροντα κόσμου τὴν ἁμαρτίαν. Ὅθεν παρ᾽ αὐτοῦ δοξασθείς , τῆς ἐπουρανίου τραπέζης, ἐν μετοχῇ ἐγένου θεσπέσιε, καὶ πρεσβεύεις ἐκτενῶς, ὑπὲρ τῶν πίστει τελούντων, τὴν χαρμόσυνον μνήμην σου.

Καὶ νῦν. Ὁ αὐτός. Προεόρτιον.

Ἰωσήφ, εἰπὲ ἡμῖν, πῶς ἐκ τῶν Ἁγίων, ἣν παρέλαβες Κόρην, ἔγκυον φέρεις ἐν Βηθλεέμ; Ἐγώ, φησί, τοὺς Προφήτας ἐρευνήσας, καὶ χρηματισθεὶς ὑπὸ Ἀγγέλου, πέπεισμαι ὅτι Θεὸν γεννήσει, ἡ Μαρία ἀνερμηνεύτως· οὗ εἰς προσκύνησιν, Μάγοι ἐξ Ἀνατολῶν ἥξουσι, σὺν δώροις τιμίοις λατρεύοντες. Ὁ σαρκωθεὶς δι' ἡμᾶς, Κύριε δόξα σοι.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῆς Μηθύμνης τὸν μέγαν, Ἱεράρχην Ἀλέξανδρον, τὸν Ἀρχιερέων τὸ κλέος, καὶ πιστῶν ἀντιλήπτορα, τιμήσωμεν ἐν ὕμνοις εὐλαβῶς, τελοῦντες τὸ μνημόσυνον αὐτοῦ· θείας χάριτος παρέχει γὰρ δωρεάς, τοῖς πόθῳ ἀνακράζουσι· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ· δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Ἕτερον. Ἦχος γ΄. Θείας πίστεως.

Σκεῦος τίμιον, τῆς ἐγκρατείας, γνώμων ἄριστος, τῆς εὐσεβείας, ἀνεδείχθης θεόφρον Ἀλέξανδρε, τῶν Μηθυμναίων ποιμὴν φιλοπρόβατος, καὶ Ἐκκλησίας φωστὴρ οὐρανόφωτος. Ὅθεν πρέσβευε, Χριστῷ τῷ Θεῷ πανεύφημε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Τὸ ὁμόηχον Θεοτοκίον καὶ Ἀπόλυσις.

**ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ**

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου.

Χριστὸν ὁλοσχερῶς, τὸν Θεὸν ἀγαπήσας, μετῆλθες δι᾽ αὐτόν, σωφροσύνῃ τὸν βίον, καὶ ὅσιος Ἀλέξανδρε, Ἱεράρχης γεγένησαι. Ὅθεν πρέσβευε, ὑπὲρ ἡμῶν παῤῥησίᾳ, τῶν τελούντων σου, τὴν ἀξιέπαινον μνήμην, ἐν ᾄσμασι σήμερον.

Δόξα. Ὅμοιον.

Ὡς μέγαν τῆς Χριστοῦ, Ἐκκλησίας φωστῆρα, ποιμένα ὡς καλόν, τοῦ λαοῦ τῆς Μηθύμνης, Ἀλέξανδρε μακάριε, οἱ πιστοὶ εὐφημοῦμέν σε· δεῦρο, φάνηθι, ἐν βίῳ πάντων προστάτης, τῶν τιμώντων σου, ἐν μελῳδίαις ᾀσμάτων, τὸ θεῖον μνημόσυνον.

Καὶ νῦν. Θεοτοκίον.

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν· σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην Πανάμωμον.

Μετὰ τὴν β′ Στιχολογίαν, Κάθισμα.
Ἦχος γ′. Τὴν ὡραιότητα.

Τῷ Ἀρχιποίμενι, Χριστῷ ἑπόμενος, ὡς πλήρης χάριτος, λαὸν ἐποίμανας, τὸν ἐν Μηθύμνῃ ἱερῶς, Ἀλέξανδρε θεηγόρε· ὅθεν τῶν ἀγώνων σου , τὰ βραβεῖα δεξάμενος, δόξης ἐκοινώνησας, ἀϊδίου καὶ κρείττονος, αἰτούμενος ἡμῖν σωτηρίαν, τοῖς κατ᾽ ἀξίαν σε τιμῶσι.

Δόξα. Ὅμοιον.

Τὸ ἐπουράνιον, τῆς πολιτείας σου, καὶ χριστομίμητον τῆς ποιμασίας σου, κατανοοῦντες οἱ πιστοί, Ἀλέξανδρε σοὶ βοῶμεν· Χαῖρε ἐγκαλλώπισμα, Ἐκκλησίας θεόσδοτον, τῆς Μηθύμνης καύχημα, καὶ τῆς Λέσβου ἀγλάϊσμα· Χριστῷ οὖν μὴ ἐλλίπης πρεσβεύων, ὑπὲρ τῶν πόθῳ σε ὑμνούντων.

Καὶ νῦν. Θεοτοκίον.

Ο῾ ὑπερούσιος, Θεὸς καὶ Κύριος, ἐκ σοῦ σεσάρκωται, δι᾽ ἀγαθότητα, τὸ καθ᾽ ἡμᾶς οὐσιωθείς, καὶ μείνας ὅπερ πέφυκεν· ὅθεν καὶ Θεάνθρωπον, τοῦτον σέβοντες Πάναγνε, σὲ τὴν Ἀπειρόγαμον, Θεοτόκον κηρύττομεν, δοξάζοντες τὸ μέγιστον θαῦμα, τῆς σῆς ἀσπόρου κυήσεως.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος δ′. Ταχὺ προκατάλαβε.

Νεκρώσας τὸ φρόνημα , δι᾽ ἀρετῆς τῆς σαρκός , ποιμὴν ἀνηγόρευσαι, τῶν Μηθυμναίων καλός, παμμάκαρ Ἀλέξανδρε· ἔβλυσας ἐκ χειλέων, γλυκασμὸν σωτηρίας· ὤφθης τῆς εὐσεβείας, ἱερὸς μυστολέκτης· διὸ σε εὐφημοῦμεν λαμπρῶς, τελοῦντες τὴν μνήμην σου.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Τῶν χρόνων ἐπέκεινα, καὶ πρὸ αἰώνων Θεόν, ἐν χρόνῳ ἐκύησας, ὑπερφυῶς ἐν σαρκί, Θεάνθρωπον Ἄχραντε· ὅθεν σε Θεοτόκον, ἀληθῶς καὶ κυρίως, πάντες ὁμολογοῦντες, ἐκτενῶς σοι βοῶμεν· Τῆς δόξης τῆς αἰωνίου, πάντας ἀξίωσον.

Οἱ Ἀναβαθμοί, ἤτοι τὸ α′ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ′ ἤχου καὶ τὸ Προκείμενον.

Οἱ Ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

www.tezaurliturgic.ro

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Εὐαγγέλιον, ζήτει τῇ ιγ΄ Νοεμβρίου.

Ὁ Ν΄. Δόξα.Ταῖς τοῦ Ἱεράρχου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ο῞σιε Πάτερ, μακάριε Ἀλέξανδρε, τὴν πρᾶξιν ἔχων, εἰς θεωρίας ἐπίβασιν, πρὸς οὐρανῶν ὑψώθης, τὴν αἰωνίζουσαν εὔκλειαν, ὡς Ἱεράρχης δοξαζόμενος, καὶ τῇ μυστικῇ τραπέζῃ παριστάμενος· μνημόνευε οὖν καὶ ἡμῶν, τῶν ἐπιτελούντων τὴν μνήμην σου

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα· οἱ Κανόνες, τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς στ΄, καὶ τοῦ Ἱεράρχου εἰς στ΄. Κανὼν τοῦ Ἱεράρχου, οὗ ἡ Ἀκροστιχὶς ἐν τοῖς Θεοτοκίοις· «Κυρίλλου».

Ὠιδὴ α΄. Ἦχος α΄. Ὠιδὴν ἐπινίκιον.

Ω᾿ιδὴν δεῦτε ᾄσωμεν, ὑμνολογοῦντες, τὸν θεῖον Ἀλέξανδρον, οἱ πιστοὶ σήμερον· ἐπέστη γὰρ φωταυγής, αὐτοῦ ἡ μνήμη ὡς φωστήρ, πάντας φωτίζουσα.

Ποιμένα τὸν κάλλιστον, τῶν Μηθυμναίων, Ἀλέξανδρον μέλψωμεν, τὸν κλεινὸν ἅπαντες· βιώσας γὰρ ἱερῶς, ἐκτήσατο ἐν οὐρανοῖς, δόξαν ἀείζωον.

Ποιμάνας τὴν ποίμνην σου, τῶν ἀρετῶν σου, τῇ ῥάβδῳ Ἀλέξανδρε, ὡς φιλοπρόβατος, ἐν μάνδρᾳ τῶν οὐρανῶν, ἐκτήσω εἰς ἁγιασμὸν, Πάτερ τοὺς κόπους σου.

Θεοτοκίον.

Κυρία τῆς κτίσεως, Εὐλογημένη, Θεόνυμφε Δέσποινα, ἐκτενῶς πρέσβευε, τῷ σῷ Υἱῷ καὶ Θεῷ, τοῦ σῴζεσθαι ἐκ πειρασμῶν, τοὺς ὑμνολόγους σου.

Ὠιδὴ γ′. Λίθον ὃν ἀπεδοκίμασαν.

Μύρῳ θείῳ σε Ἀλέξανδρε, ἀρχιερωσύνης, ἔχρισεν ἀξίως, ἡ Παρακλήτου χάρις· σὺ γὰρ ὡς ἀγαπήσας, Χριστὸν τὸν Δεσπότην σου, ἐν ἀπαρνήσει ἑαυτοῦ, χαίρων αὐτῷ κατηκολούθησας.

Ε῎χων ὅλην σου τὴν ἔφεσιν, πρὸς τὸν Ζωοδότην, ἔδραμες ὀπίσω, προθύμως τούτου Πάτερ, καὶ γέγονας δοχεῖον, Ἀλέξανδρε χάριτος, ὡς τῶν προσύλων καθαρθείς, τῆς ἐγκρατείας ἀγωνίσμασι.

Δῶρον Ὅσιε Ἀλέξανδρε, καθηγιασμένον, βίου σου προσῆξας, τὰς ἀρετὰς τῷ Κτίστῃ· διὸ ἐδόξασέ σε, αὐτὸς ὡς φιλάνθρωπος, καὶ ἀντιλήπτορα καλόν, τοῖς εὐσεβέσιν ἐδωρήσατο.

Θεοτοκίον.

Υ῞μνοις Δέσποινα Μητράνανδρε, μακαρίζομέν σε, ὅτι τὸν Δεσπότην, ὑπερφυῶς τεκοῦσα, ἐλύτρωσας τὸν κόσμον, ἀρᾶς τοῦ Προπάτορος, καὶ εὐλογίας θεϊκῆς, πᾶσιν ἡμῖν ἐγένου πρόξενος.

Κάθισμα. Ἦχος γ′. Θείας πίστεως.

Θείων λόγων σου, τῇ ἐπιστήμῃ, καὶ θαυμάτων σου, τῇ ἐπιδείξει, τὸν λαόν σου ποιμάνας Ἀλέξανδρε, πρὸς τὰς αὐλὰς τῆς ζωῆς ἐξεδήμησας, ἔνθα Κυρίου τῷ θρόνῳ παρίστασαι. Ὅθεν πρέσβευε, αὐτῷ ἐκτενῶς πανεύφημε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Θεία γέγονας, σκηνὴ τοῦ Λόγου, μόνη Πάναγνε, Παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα· τὸν ὑπὲρ πάντας ἐμὲ οὖν γενόμενον, ῥερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον, πρεσβειῶν σου ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

Ὠιδὴ δ′. Ἐπήρθη ὁ ἥλιος.

Η῾ χάρις ἐκκέχυται, ἐν χείλεσί σου, ἄνερ τοῦ Θεοῦ δαψιλῶς· διὸ πηγὰς ἔβλυσας τοῦ σωτηρίου, εὐφραίνων πνευματικῶς, τὴν ἐκλογάδα σου.

Σωφρόνως τὸν βίον σου, ἐπιτελέσας, πόθῳ καὶ ἀγάπῃ Χριστοῦ, θαυμάτων ἐπλούτησας τὰς ἐνεργείαις, Ἀλέξανδρε τοῦ λαοῦ, εἰς περιποίησιν.

Εὐφραίνεται Μήθυμνα, ὅτι ποιμένα, ἔσχεν σε ὦ Πάτερ καλόν , καὶ χαίρει θαυμάτων σου κατατρυφῶσα , δι᾽ ὧν τὴν χάριν τὴν σήν, φαίνεις τοῖς πέρασι.

Θεοτοκίον.

Ρ῾ημάτων δεήσεως, ἐπάκουσόν μου, Δέσποινα Παρθένε Ἁγνή, καὶ ῥῦσαι παντοίων με πειρατηρίων, κινδύνων καὶ συμφορῶν, τῇ μεσιτείᾳ σου.

Ὠιδὴ ε΄. Ἐκ νυκτὸς ὀρθρίζοντες.

Διαπρέπων πράξεσι, καὶ λόγοις ἱεροῖς, ποιμαντικῶς ἐξέλαμψας, ἐκ Μηθύμνης ὥσπερ ἥλιος, οὐρανὸν Ἐκκλησίας, φωτίζων Ἀλέξανδρε.

Υ῾ποτάξας πνεύματι, τὴν σάρκα ἀνδρικῶς, Ἀρχιερεὺς θεόληπτος, καὶ προβάτων λογικῶν ποιμήν, θεϊκῇ ἐπινεύσει, ἐγένου Ἀλέξανδρε.

Ε᾿ναρέτῳ βίῳ σου, τὰ θεῖα μυηθείς, μυσταγωγὸς οὐράνιος, εὐσεβείας καὶ διδάσκαλος, τῇ ἁγίᾳ σου ποίμνῃ, ἐφάνης Ἀλέξανδρε.

Θεοτοκίον.

Ι῾λαρῶς ἐπίβλεψον, ὑψόθεν ἐφ᾽ ἡμᾶς, καὶ μητρικῆς προνοίας σου, Θεοτόκε τοῖς γνωρίσμασι, τὴν ψυχὴν ἡμῶν ῥῦσαι, βελίαρ τῆς μήνιδος.

Ὠιδὴ στ΄. Τὸν Προφήτην Ἰωνᾶν.

Υ῾ποθήκαις πρακτικαῖς, καὶ ἀμέμπτῳ βιοτῇ, τῆς Μηθύμνης τὸν λαόν, ὁδηγήσας πρὸς Θεόν, δεδόξασαι, ἐν τοῖς ὑψίστοις, Πάτερ Ἀλέξανδρε.

Παρακλήτου πληρωθείς, τῶν ναμάτων τὴν ψυχήν, τῆς σοφίας ποταμός, ἐγνωρίσθης νοητός, Ἀλέξανδρε, τῆς Ἐκκλησίας, ἄρδων τὴν ἄρουραν.

Διοδεύσας ἐπὶ γῆς, εὐσεβείας τὴν ὁδόν, καὶ ἐκλάμψας τηλαυγῶς, ἀρεταῖς ποιμαντικαῖς, Ἀλέξανδρε, φῶς χρηματίζεις, τοῖς ὑμνολόγοις σου.

Θεοτοκίον.

Λάμπρυνόν μου τὴν ψυχήν, Θεονύμφευτε Ἁγνή, ἀποῤῥήτως ἡ τὸ φῶς, ἀνατείλασα Χριστόν, καὶ σῶσόν με, ὑμνολογοῦντα, τὰ μεγαλεῖᾳ σου.

www.tezaurliturgic.ro

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Τῶν Μηθυμναίων ὁ ποιμὴν ὁ φιλοπρόβατος,
καὶ Ὀρθοδόξων ὁ πατὴρ ὁ στοργικώτατος,
ὁ Ἀλέξανδρος ὁ πάνσοφος εὐφημείσθω·
παῤῥησίαν γὰρ ὡς ἔχων πρὸς τὸν Κύριον,
ἀκαταίσχυντος ὑπέρμαχος παρίσταται,
τοῖς κραυγάζουσι· Χαίροις, Πάτερ μακάριε.

Ὁ Οἶκος.

Ἔνθεος Ἱεράρχης, καὶ ποιμὴν θεηγόρος, γενόμενος τῆς ποίμνης Κυρίου, Ἀλέξανδρε ἐν τοῖς οὐρανοῖς, τῆς δεξιᾶς παραστάδος ἠξίωσαι· διὸ ἡμῶν μνημόνευε, τῶν ἐκβοώντων σοι τοιαῦτα·
Χαῖρε, ὁ πάνσοφος Ἱεράρχης·
χαῖρε, ὁ ὅσιος Ποιμενάρχης.
Χαῖρε, τῆς Μηθύμνης ποιμὴν ἐνθεώτατος·
χαῖρε, Ἐκκλησίας λαμπτὴρ οὐρανόφωτος.
Χαῖρε, βλάστημα πανάγιον ἀρετῶν ὑπερφυῶν·
χαῖρε, σκήνωμα ὑπέρτιμον δωρεῶν θεουργικῶν.
Χαῖρε, ὅτι μετῆλθες θαυμαστὴν πολιτείαν·
Χαῖρε, ὅτι καθεῖλες δυσμενῶν πανουργίαν.
Χαῖρε, θαυμάτων κρήνη ἀκένωτος·
Χαῖρε, χαρίτων ῥεῖθρον ἀστείρευτον.
Χαῖρε, δι᾽ οὗ ὁ Χριστὸς ἐδοξάσθη·
Χαῖρε, δι᾽ οὗ ὁ ἐχθρὸς ἐτροπώθη.
Χαίροις, Πάτερ μακάριε.

Μηνολόγιον.

Τῇ Λ΄ τοῦ αὐτοῦ μηνός (Νοεμβρίου), Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἀλεξάνδρου, Ἐπισκόπου Μηθύμνης, τοῦ θαυματουργοῦ.

Στίχοι.
Ἔπαινον φέρω τῷ κλεινῷ Ἀλεξάνδρῳ,
Θείῳ Ποιμένι ἐκλογάδος Μηθύμνης.

Τριακοστῇ Ἀλέξανδρος ὕμνοις τιμάσθω λιγυροῖς.

Συναξάριον.

Τὰ περὶ τοῦ βίου τοῦ Ὁσίου τούτου Ἀλεξάνδρου τῷ τῆς σιγῆς μοδίῳ παρεδόθησαν, τούτου μόνον γνωστοῦ ὄντος, ὅτι ὁ μακάριος, τὸν τῆς

Μηθύμνης λαὸν θεαρέστως ποιμάνας ἐν χρόνοις ἀρχαίοις, καὶ ὁσίως πρὸς Κύριον ἐκδημήσας, ἐτάφη παρὰ τὴν κώμην Λαφιῶνα τῆς Λέσβου, ἔνθα δείκνυται ὁ τάφος αὐτοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου, Ἀνδρέου τοῦ Πρωτοκλήτου.

Στίχοι.
Ἀντίστροφον σταύρωσιν Ἀνδρέας φέρει,
Φανεὶς ἀληθῶς οὐ σκιώδης ἀντίπους.

Σταυρὸν κακκεφαλῆς τριακοστῇ Ἀνδρέας ἔτλη.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Φρουμεντίου, Ἐπισκόπου Ἰνδίας.

Στίχοι.
Φρουρούμενος χάριτι σεπτῆς Τριάδος,
Φρουμέντιος δέδειχε φροῦδον τὴν πλάνην.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠιδὴ ζ΄. Ἡ κάμινος Σωτήρ.

Μηθύμνης τὸν καλὸν Ἀρχιποίμενα, τιμῶμέν σε Ἀλέξανδρε κράζοντες· ὑπὲρ ἡμῶν ἱκέτευε, ἐκτενῶς τὸν τῶν Πατέρων Θεόν.

Ι῾έρευσας καλῶς τῷ Παντάνακτι, ὡς Ἄγγελος Ἀλέξανδρε Ὅσιε· διὸ Ἀγγέλων τάγμασι, ἐν Ἐδὲμ νῦν συγχορεύεις λαμπρῶς.

Η῾ Λέσβος πανδημεὶ ἐπαγάλλεται, θαυμάτων σου τὴν χάριν κηρύττουσα, ἣν Ἱεράρχα φύλαττε, ἐξ ἐχθρῶν ταῖς δραστικαῖς σου εὐχαῖς.

Θεοτοκίον.

Λιμένα γαληνὸν σωτηρίας σε, γνωρίζομεν οἱ βίου τὴν θάλασσαν, ἐν τρικυμίαις πλέοντες· Ὦ Ἁγνὴ μὴ ὑπερίδης ἡμᾶς.

Ὠιδὴ η΄. Ὃν φρίττουσι Ἄγγελοι.

Ο῝ν φρίττει τὰ σύμπαντα, ἐδούλευσας καλῶς, καὶ τούτου ἐπλήρωσας, τὸν λόγον ἐπὶ γῆς· διὸ νῦν ἀγάλλῃ, ἐν τῇ δόξῃ αὐτοῦ, Ἀλέξανδρε Πάτερ, ὑπὲρ ἡμῶν πρεσβεύων.

Θυσίαν προσήγαγες, εὐάρεστον Θεῷ, τοῦ βίου Ἀλέξανδρε, σοφὲ τὰς ἀρετάς, καὶ ἔλαβες χάριν , παρ᾽ αὐτοῦ ἐνεργεῖν, θαυμάτων ἐν κόσμῳ, παράδοξα σημεῖα.

Ε᾽ν νόμῳ τῆς χάριτος, παιδεύσας ἑαυτόν, τὸ Πνεῦμα ἐφείλκυσας, παμμάκαρ τοῦ Θεοῦ, ἐν ᾧ καὶ λαλήσας, ὑψηγόρῳ φωνῇ, διδάσκαλος ὤφθης, ἀνθρώποις ἀληθείας.

Θεοτοκίον.

Ο῾ Λόγος Πανάχραντε, ἐκ σοῦ σωματωθείς, θανάτου ἐῤῥύσατο, τὸ γένος τῶν βροτῶν· Αὐτὸν οὖν δυσώπει, μητρικοῖς οἰκτιρμοῖς, σωθῆναι Παρθένε, τοὺς σὲ ὑμνολογοῦντας.

Ὠιδὴ θ΄. Τὴν ζωοδόχον Πηγήν.

Τὸν Ἱεράρχην Χριστοῦ τὸν ἰσάγγελον, τὸν Ποιμενάρχην Μηθύμνης τὸν ὅσιον, τὸν ναὸν τοῦ Πνεύματος, τὴν σκηνὴν τῆς χάριτος, καὶ τῶν πιστῶν πρὸς Θεὸν ἕτοιμον πρέσβυν, σὲ εὐφημοῦμεν ἐν ὕμνοις Ἀλέξανδρε.

Καταφρονήσας τοῦ κόσμου Ἀλέξανδρε, ὡς ὑπερλίαν φιλήσας τὸν Κύριον, τὸν Σταυρὸν ἐβάστασας, ἐν παντὶ τῷ βίῳ σου, καὶ οἰκιστὴς οὐρανῶν τῆς βασιλείας, κατηξιώθης γενέσθαι ἀοίδιμε.

Τοὺς ἐκτελοῦντας ἀξίως τὴν μνήμην σου, ἣν ὁ Δεσπότης δοξάζει τοῖς θαύμασιν, ἐκ κινδύνων λύτρωσαι, πειρασμῶν τε θλίψεων, συμφορῶν χαλεπῶν καὶ νοσημάτων, τῶν πρεσβειῶν σου Ἀλέξανδρε χάριτι.

Θεοτοκίον.

Υ῾μνολογοῦντες Παρθένε τὸ τόκον σου , δι᾽ οὗ ὁ κόσμος ἐῤῥύσθη τοῦ πταίσματος, ἐκ ψυχῆς βοῶμέν σοι· Χαῖρε Μῆτερ Πάναγνε, τοῦ οὐρανοῦ καὶ τῆς γῆς ἡ πλατυτέρα· Χαῖρε ἀνθρώπων, ἡ σκέπη καὶ ἀντίληψις.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ι῾εραρχίας θρόνον, ταῖς ἀρεταῖς σου ἐπιβάς, Ἀρχιερεὺς ἐγνωρίσθης, ἄκακος, πρᾷος καὶ σοφός· διὸ Χριστός σε δοξάζει, Ἀλέξανδρε εἰς αἰῶνας.

Ἕτερον. Ὅμοιον.

Τῶν Μηθυμναίων χαίρει, ἐπὶ σοὶ Πάτερ ὁ λαός, ὅτι καλόν σε ποιμένα, ἐκτήσατο παρὰ Θεοῦ· διὸ αὐτὸν ἀεὶ σκέπε, Ἀλέξανδρε σαῖς πρεσβείαις.

Θεοτοκίον.

Εὐλογημένη Κόρη, τοὺς πεποιθότας ἐπὶ σοί, ἀπὸ κινδύνων παντοίων, καὶ πειρασμῶν παντοδαπῶν, διάσωσον ἐνεργείᾳ, τῆς μητρικῆς χάριτός σου.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ′ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α′. Τῶν οὐρανίων ταγμάτων.

Τὸν Ἱεράρχην Κυρίου, θεῖον Ἀλέξανδρον, τὸν Ἄγγελον Μηθύμνης, Ἐκκλησίας τὸ κλέος, ὑμνήσωμεν συμφώνως δεῦτε πιστοί, πρὸς αὐτὸν ἀνακράζοντες· Ὡς παῤῥησίαν πλουτήσας πάντων ἡμῶν, ὑπερεύχου τῶν τιμώντων σε.

Ταῖς ἀρεταῖς διαπρέψας, ὡς πλήρης πίστεως, ποιμὴν ἀνηγορεύθης, ἱερὸς τῆς Μηθύμνης, Ἀλέξανδρε θεόφρον καὶ τὸν λαόν, τοῦ Κυρίου ἐποίμανας, Εὐαγγελίου παμμάκαρ πρὸς τὴν νομήν, διδαχαῖς καὶ θείοις θαύμασιν.

Χριστομιμήτοις σου ἔργοις, Πάτερ Ἀλέξανδρε, ἀξίως κυβερνήσας, τὸν λαὸν τῆς Μηθύμνης, τὰ ἔπαθλα ἐδέξω παρὰ Θεοῦ, τῶν ὁσίων ἀγώνων σου· διὸ αὐτῷ παριστάμενος εὐκλεῶς, ἡμῖν αἴτει τὴν συγχώρησιν.

Τοὺς καταφεύγοντας πόθῳ, τῇ προστασίᾳ σου, καὶ εὐσεβῶς τελοῦντας, τὴν ἁγίαν σου μνήμην, Ἀλέξανδρε τρισμάκαρ ταῖς πρὸς Θεόν, δραστικαῖς σου δεήσεσιν, ἀπὸ παντοίων διάσωσον πειρασμῶν, νοσημάτων καὶ κακώσεων.

Δόξα. Ἦχος πλ. δ′.

Ὅσιε Πάτερ, ἴχνεσιν ἀκολουθῶν, τοῦ δι᾿ ἡμᾶς ἑαυτὸν κενώσαντος , ἤρθης πρὸς ὕψος, ταῖς ἀρεταῖς ἐποχούμενος, καὶ βασιλείας οὐρανῶν, ἐν πλατυσμῷ ἀνεπαύσω, σὺν Ἁγίων χοροῖς εὐφραινόμενος. Ὅθεν πρέσβευε ἐκτενῶς, ὑπὲρ ἡμῶν τῶν τελούντων τὴν μνήμην σου, ἵνα λάβωμεν διὰ σοῦ, ἱλασμὸν ἁμαρτιῶν, εἰρήνην καὶ μέγα ἔλεος.

www.tezaurliturgic.ro

Καὶ νῦν. Ὁ αὐτός. Προεόρτιον.

Ὑ῾πόδεξαι Βηθλεέμ, τὴν τοῦ Θεοῦ Μητρόπολιν· φῶς γὰρ τὸ ἄδυτον, ἐπὶ σὲ γεννῆσαι ἥκει. Ἄγγελοι θαυμάσατε ἐν οὐρανῷ, ἄνθρωποι δοξάσατε ἐπὶ τῆς γῆς. Μάγοι ἐκ Περσίδος, τὸ τρισσόκλεον δῶρον προσκομίσατε. Ποιμένες ἀγραυλοῦντες, τὸν Τρισάγιον ὕμνον μελῳδήσατε. Πᾶσα πνοή, αἰνεσάτω τὸν Παντουργέτην.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἱεράρχου ἡ γ′ καὶ στ′ Ὠιδή. Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει τῇ ιγ′ Νοεμβρίου, ἐν τῇ Μνήμῃ τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Τῶν Ἀρχιερέων τὴν καλλονήν, καὶ τῶν Μηθυμναίων, Ποιμενάρχην θαυματουργόν, σὲ ἀνευφημοῦμεν, Ἀλέξανδρε παμμάκαρ· μνημόνευε οὖν πάντων, τῶν εὐφημούντων σε.

*Στίχοι.*
*Τοῖς ᾄσμασι Κύριλλος ὁ Ῥόδου στέφει,*
*Μηθύμνης Ἀλέξανδρον καλὸν ποιμένα.*